TEZAUR LITURGIC

13 SEPTEMBRIE

# ACATISTUL SF.CUVIOS IEROTEI DE LA IVIRON-ATHOS

ATENA,2010


ΑΠΟCΤΟΛΙΚΗ ΔΙΑΚΟΝΙΑ
ΤΗC ΕΚΚΛΗCΙΑC ΤΗC ΕΛΛΑΔΟC

# Χαιρετισμοί

# Ὁσίου ΙΕΡΟΘΕΟΥ τοῦ Ἰβηρίτου

Κοντάκιον. Ἦχος πλ. δ'. Τῇ Ὑπερμάχῳ.

Τὸν ἐν Ὁσίοις θεοφόρον Ἱερόθεον, καὶ ἐν Ἁγίοις νέον κήρυκα τῆς χάριτος, ὑμνωδείαις εὐφημήσωμεν ἐπαξίως, Μεσσηνίας γὰρ αὐτὸς ὑπάρχει καύχημα, καὶ Μονῆς τῆς τῶν Ἰβήρων θεῖον σέμνωμα, ὅθεν κράζομεν· Χαίροις Πάτερ θεόσοφε.

Ἄγγελος ἐν ἀνθρώποις, καὶ βροτὸς ἐν Ἀγγέλοις, ἐδείχθης Ἱερόθεε Πάτερ, ὡς γὰρ κλῆσιν ἔσχες ἱεράν, οὕτω καὶ τὸ σὸν πολίτευμα μακάριε, ἱερὸν καὶ θεῖον ἀπετέλεσας, διὸ ἐπαγαλλόμενοι τὸ χαῖρέ σοι βοῶμεν οὕτως·

Χαῖρε, ὁ γόνος Πελοποννήσου·
χαῖρε, τὸ τέρμα ἐρημονήσου.
Χαῖρε, Μεσσηνίας ἁπάσης τὸ καύχημα·
χαῖρε, τῶν ἐν Ἄθῳ Πατέρων τὸ σέμνωμα.
Χαῖρε, ὅτι ἐμαθήτευσας, ἐν σοφίᾳ καὶ σπουδῇ·
χαῖρε, ὅτι κατεσόφισας, τοὺς ἐν σοὶ μετὰ σπουδῆς.
Χαῖρε, ὅτι τῆς Ἑλλάδος θεοδώρητον θρέμμα·
χαῖρε, τὸ τῶν ἐν Ἄθῳ θεοκόσμητον θέμα.
Χαῖρε, στολὴ Ὁσίων ἐν πνεύματι·
χαῖρε, ὀσμὴ Ἁγίων ἐν χάριτι.
Χαῖρε, δι' οὗ μονασταὶ εὐοδοῦνται·
χαῖρε, δι' οὗ ἀσκηταὶ περαιοῦνται.

Χαίροις, Πάτερ θεόσοφε.

Βλέπων ὁ θεοφόρος, ἑαυτὸν ἐν προόδῳ, εἰς θείαν ἐπεκτείνετο γνῶσιν, καὶ καταλιπὼν τὰ τῆς σαρκός, τοῦ τοῦ Πνεύματος ἐπεμελεῖτο πάντοτε, διὸ ἐπαγαλλόμενος, ὁ Ὅσιος Κυρίῳ τῷ Θεῷ ἐβόα·
Ἀλληλούϊα.

Γνῶσιν κτήσας εὐθεῖαν, καὶ σπουδάσας σοφίᾳ, ἐκ ταύτης ἐμυήθης τὰ θεῖα, καὶ τῆς παρθενίας ὅλος ἐραστής, Ὅσιε διάπυρος γενόμενος, προτρέπεις τοὺς εὐθύφρονας βοᾶν σοι τῷ σοφῷ, τοιαῦτα·
Χαῖρε, ὁ γνώστης Θεοῦ σοφίας·
χαῖρε, ὁ μύστης πάσης ἁγνείας.
Χαῖρε, μοναζόντων τὸ θεῖον ἑδραίωμα·
χαῖρε, εὐδρομούντων τὸ ὄντως ἐντρύφημα.
Χαῖρε, ὅτι ἐχαρίτωσας σεαυτὸν θείᾳ σπούδῃ·
χαῖρε, ὅτι ἀνεπτέρωσας σοῦ τὸν νοῦν ἐν προσευχῇ.
Χαῖρε, ὁ τῆς Ἰβήρων οἰκιστὴς καὶ μονάστης·
χαῖρε, ὁ τῶν ἐνταῦθα, εὐσεβούντων προστάτης.
Χαῖρε, πιστοῦ λαοῦ ἡ εὐπείθεια·
χαῖρε, παντὸς τοῦ Ὄρους ἡ εὔκλεια.
Χαῖρε, λαμπτὴρ εὐσεβοῦς ἀληθείας·
χαῖρε, σφραγὶς νοερᾶς ἐργασίας.
Χαίροις, Πάτερ θεόσοφε.

Δύναμις τοῦ Ὑψίστου, σοὶ κατῆλθε τρισμάκαρ, ὅτε ἤρξω τὴν σὴν πορείαν πρὸς τὰ ἐν τῷ Ἄθῳ εὐσεβῆ, τοῦ

μονήρους βίου καταγώγια, καὶ σὲ καταφωτίσασα καὶ σκέπουσα ἐβόας τῷ Σωτῆρι τῶν ἁπάντων·
Ἀλληλούϊα.

Ἔχων τὸν θεῖον ζῆλον, ἔσω θεοφόρος ἐπεκτείνετο εἰς ἀγῶνας καὶ βουλόμενος ὑπὲρ Χριστοῦ παθεῖν, ἐπὶ τῇ ἀσκήσει ἄσκησιν ἐπέθετο, κἀγὼ δ’ ἐπαγαλλόμενος τῷ Πνεύματι, τῷ στόματι βοῶ σοι ταῦτα·
Χαῖρε, τοῦ Ἄθω τὸ νέον κρίνον·
χαῖρε, πατρίδος τὸ θεῖον δῶρον.
Χαῖρε, ὁ Δακίαν φωτίσας τοῖς λόγοις σου·
χαῖρε, ὁ Αὐστρίαν καρπώσας τοῖς ἔργοις σου.
Χαῖρε, ὅτι Μάρτυς γέγονας, προαιρέσει σου σοφέ·
χαῖρε, ὅτι χάριν εὕρηκας, ὡς οἱ ὄντως ἀθληταί.
Χαῖρε, ὁ ἀνυψώσας μονοτρόπων τὸ κέρας·
χαῖρε, ὁ χαριτώσας ὑμνητῶν σου τὰς φρένας.
Χαῖρε, ἡμῶν τὸ θεῖον ὀσφράδιον·
χαῖρε, παντὸς τὸ νέον λαμπάδιον.
Χαῖρε, δι’ οὗ ἡ Ἑλλὰς ἐγκαυχᾶται·
χαῖρε, δι’ οὗ ἡ Τριὰς εὐλογεῖται.
Χαίροις, Πάτερ θεόσοφε.

Ζάλην πᾶσαν τοῦ κόσμου, ἐκφυγὼν θεοφόρε, ἡσύχασας ἐν ἐρήμῳ τόπῳ, καὶ τὰς θείας βίβλους μελετῶν, τὰς τῆς παλαιᾶς καὶ νέας χάριτος ἐγένου ὡς τῇ κλήσει, καὶ τῇ πράξει Ἱερόθεος κραυγάζων τῷ Σωτῆρι·
Ἀλληλούϊα.

Ἤσκησας κακουχίας, ἑκουσίᾳ βουλῇ σου, θεόφρον Ἱερόθεε Πάτερ, καὶ Θεῷ εὐαρεστήσας ἱκανῶς, τῆς ἱερωσύνης ἠξιώθης θεοδόξαστε,διὸ ἡμεῖς τῇ δόξῃ σου τερπόμενοι βοῶμέν σοι τὸ χαῖρε οὕτως·

Χαῖρε, Ὁσίων ἡ κοσμιότης·
χαῖρε, Πατέρων τε ἡ τερπνότης.
Χαῖρε, ἐγκρατείας ὁ νέος διδάσκαλος·
χαῖρε, ἡσυχίας Πατὴρ ὁ ἰσάγγελος.
Χαιρε, καύχημα καὶ στήριγμα, μοναστῶν καὶ ἀσκητῶν.
χαῖρε, σκέπη καὶ ἐντρύφημα, τῶν πιστῶν σου οἰκετῶν.
Χαῖρε, τῆς Ἐκκλησίας τὸ νεόφυτον ἄνθος·
χαῖρε, τῆς εὐσεβείας, τὸ ἀπόρθητον τεῖχος.
Χαῖρε, δι᾿ οὗ καυχῶνται οἱ ἔμφρονες·
χαῖρε, δι᾿ οὗ τροποῦνται οἱ δαίμονες.
Χαῖρε, δι᾿ οὗ πιστοὶ περαιοῦνται·
χαῖρε, δι᾿ οὗ ἀσεβεῖς ἐκπορθοῦνται.
Χαίροις, Πάτερ θεόσοφε.

Θεοφόρος καὶ μέγας, γεγονὼς τῇ ἀσκήσει, ὁ θεῖος Ἱερόθεος ὤφθη διὰ βραχυτάτης γὰρ τροφῆς, καὶ εὐτελεστάτης ὁ ἀοίδιμος ἅπαξ τε τῆς ἑβδομάδος μετασχὼν ὡς ἄσαρκος, ἐβόας σὺν Ἀγγέλοις τῷ Δεσπότῃ·

Ἀλληλούϊα.

Ἴδον παῖδες Ἑλλάδος, τῶν Δακῶν καὶ Αὐστρίας, τὰ παρά σου τελούμενα Πάτερ, ὡς καὶ οἱ τοῦ Ἄθω μοναστaί, πάσας γὰρ τὰς θείας ἐντολὰς καὶ τὰς ἀρετὰς τηρήσας Ὅσιε, ἀκούεις παρὰ πάντας ταῦτα·

Χαῖρε, Ἰβήρων ὁ κοσμιοῦχος·
χαῖρε, πατρίδος ὁ πολιοῦχος.
Χαιρε, τῶν Ἁγίων Ἀγγέλων ἰσότιμε·
χαῖρε, τῶν Ὁσίων ἁπάντων ὁμόσκηνε.
Χαῖρε, ὅτι τῇ ἀσκήσει σου, ἐξετόνισας σαυτόν·
χαῖρε, ὅτι τῇ βοώσει σου, ἐξενεύρισας ἐχθρόν.
Χαῖρε, ὁ τὴν ἀγάπην κτήσας πρὸς τὸν πλησίον·
χαῖρε, ὁ τὴν ἀπάτην, ἐκλιμήσας ἐν πτύῳ.
Χαῖρε, σοφὲ σοφῶν ἡ εὐπρέπεια·
χαῖρε, πιστὲ πιστῶν καλλιέπεια.
Χαῖρε, πολλων εὐδρομούντων ἀλεῖπτα·
χαῖρε, ἐχθρῶν ἀοράτων διῶκτα.
Χαίροις, Πάτερ θεόσοφε.

Κῆρυξ ἐπ' Ἐκκλησίας, ἐν Σκοπέλῳ τῇ νήσῳ, ἐδείχθης καὶ διδάσκαλος μέγας, καὶ πνευματικὸς ἐκεῖ Πατήρ, ὅθεν καὶ διδάξας πολυτρόπως Ἱερόθεε, τὸν Χριστώνυμον αὐτῆς λαόν, ἐβόας σου τῷ Κτίστῃ.

Ἀλληλούϊα.

Λάμψας ἐν τῇ ἐρήμῳ, ὥσπερ ἥλιος ἄλλος, τὰς νήσους κατεφώτισας λίαν, θαύμασι κοσμούμενος καὶ διδαχαῖς, καὶ Θεῷ εὐάρεστος γενόμενος, προτρέπεις τους εὐθύφρονας βοᾶν σοι

Χαῖρε, ὁ μέγας Χριστοῦ θεράπων·
χαῖρε, ὁ πλήρης πολλῶν θαυμάτων.
Χαῖρε, ἐραστὰ τῶν ἰχνῶν Χριστοῦ Ὅσιε·
χαῖρε, κομιστὰ τῶν χαρίτων ὑπέρτιμε.
Χαῖρε, μάκαρ Ἱεροθεε, ἱερεὺς ὢν τοῦ Θεοῦ·
χαῖρε, ὄντως ἱερώνυμε, εὐεργέτα τοῦ λαοῦ.
Χαῖρε, ὅτι τὸ κλέος τῆς πατρίδος σὺ πέλεις·
χαῖρε, ὅτι συνήθως ὑπὲρ πάντων πρεσβεύεις.
Χαῖρε, Πατὴρ Πατέρων πανεύφημε·
χαῖρε, φωστὴρ φωστήρων ὑπέρτιμε.
Χαῖρε, δι᾽ οὗ ὁ Θεὸς ἐδοξάσθη·
χαῖρε, δι᾽ οὗ ὁ σατὰν κατησχύνθη.
Χαίροις, Πάτερ θεόσοφε.

Μένοντος τοῦ Ὁσίου, ἐν ἐρήμῳ τῇ νήσῳ, καὶ πράττοντος τὰ θεῖα ἐν πᾶσι, πρὸς Θεὸν ἐνδόξως ἐνδημεῖ, καὶ αὐτῷ τὸ Πνεῦμα παρατίθησι,πλήρης ἡμερῶν καὶ ἁγιότητος ὑπάρχοντος καὶ πρὸς αὐτὸν βοῶντος·
Ἀλληλούϊα.

Νέος ὤφθης τρισμάκαρ, ἐν Ὁσίοις πατράσι, καὶ ἴσος τοῖς ἀρχαίοις ἐν πᾶσι, διὰ τοῦτό σου τὴν ἱεράν, μνήμην ἐκτελοῦντες Ἱερόθεε, τῷ μὲν Θεῷ τὴν δόξαν ἀναπέμπομεν, σοὶ δὲ βοήσωμεν τὸν ὕμνον οὕτως·
Χαῖρε, ἡμῶν ἡ παραμυθία·
χαῖρε, λαοῦ ἡ προσηγορία.
Χαῖρε, οἰκετῶν σου ὁ μέγας διάκοσμος·

χαῖρε, τοῦ λαοῦ σου ὁ θεῖος διδάσκαλος.
Χαῖρε, στάθμης τῆς πραότητος, καὶ τῆς πίστεως εἰκών·
χαῖρε, στύλε θεοστήρικτε, ἐγκρατείας τε κανών.
Χαῖρε, ὁ ἁγιάσας σεαυτὸν θείοις ἔργοις·
χαῖρε, ὁ ἐνισχύσας τοὺς πιστοὺς θείοις λόγοις.
Χαῖρε, ἡμῶν προστάτα καὶ στήριγμα·
χαῖρε, παντὸς πιστοῦ ἀγαλλίαμα.
Χαῖρε, ἡμῶν ὁ ἀχείμαστος ὅρμος·
χαῖρε, παντὸς ὁ ἀνέσπερος λύχνος.
Χαίροις, Πάτερ θεόσοφε.

Ξένος ὤφθης τοῦ κόσμου, ξενωθεὶς ἑκουσίως, ἀλλ’ ἔσῃ ἐν τῷ πόλῳ οἰκεῖος, μετὰ τῶν Ἁγίων τοῦ Θεοῦ, Ἀθλητῶν Ὁσίων καὶ Δικαίων τε, Ὅσιε τρισμάκαρ Ἱερόθεε, ψάλλων σὺν Ἀγγέλοις τῷ Σωτῆρι·
Ἀλληλούϊα.

Ὄλβιόν σου τὸ τέλος, καὶ τὰ λείψανα ὤφθη, πληρούμενα εὐωδίας πάσης, ἡ γὰρ Κάρα σου ἡ θαυμαστή, τὰς ἰάσεις νέμουσα τοῖς δούλοις σου,ἃς ἐκ θείας χάριτος προσείληφε, προτρέπει τοὺς αὐτοὺς βοᾶν σοι·
Χαῖρε, Θεοῦ ὁ ἠγαπημένος·
χαῖρε, λαοῦ ὁ πεποθημένος.
Χαῖρε, μονοτρόπων ὁ μέγας ἀρίσταρχος·
χαῖρε, ἱερέων ὁ θεῖος ταξίαρχος.
Χαῖρε, ὅτι κλῆρον εὕρηκας ἐν Μονῇ τῇ ἱερᾷ·

χαῖρε, ὅτι δόξης ἔτυχες, ὡς ἡ μνήμη σου φαιδρά.
Χαιρε, ὅτι σῇ κάρᾳ ἡ αὐτὴ ἐγκαυχᾶται·
χαῖρε, ὅτι σῇ μνήμῃ ἡ πατρίς σου τιμᾶται.
Χαῖρε, δι᾽ οὗ ἡ μνήμη σου σώζεται·
χαῖρε, δι᾽ οὗ ἡ χάρις σου δίδοται.
Χαῖρε, δι᾽ οὗ χαρακτῆρά σου σχῶμεν·
χαῖρε, δι᾽ οὗ τῆς σῆς δόξης τρυφῶμεν.
Χαίροις, Πάτερ θεόσοφε.

Πᾶσα φύσις Ἀγγέλων, συνεχάρη ὁπόταν, σοῦ κατεῖδον τὴν θείαν κάραν, ταύτης οὖν τρυφῶσα ὡς εἰκός, ἡ Ἰβήρων Λαύρα Ἱερόθεε, καὶ τῶν ἀρετῶν σου μνημονεύουσα, τῷ Θεῷ κραυγάζει·
Ἀλληλούϊα.

Ῥήτωρ Θεοῦ σοφίας, καὶ τῆς θύραθεν ὅλος, ἐδείχθης Ἱερόθεε μάκαρ, ἡ γὰρ θέα σου ἀγγελική, ἡ καρδία σου ναὸς Θεοῦ ὑπῆρχέ σοι, καὶ τὰ αἰσθητήρια θεοπρεπῆ ἐτήρησας τῷ Πλάστῃ σου, διὸ καὶ αὖθίς σοι βοῶμεν ταῦτα·
Χαῖρε, Μονῆς σου ἡ κοσμιότης·
χαῖρε, μορφῆς σου ἡ ὡραιότης.
Χαῖρε, ἱερέων τὸ θεῖον κειμήλιον·
χαῖρε, τῶν Ὁσίων τὸ νέον ὀσφράδιον.
Χαῖρε, ὅτι ἐθεράπευσας τὸν νοσοῦντα μοναχόν·
χαῖρε, ὅτι καθηγίασας καὶ τὸ βρέφος ἐν Χριστῷ.
Χαῖρε, ὁ ἀπελαύνων ἀφ᾽ ἡμῶν πᾶσαν νόσον·
χαῖρε, ὁ ἀντεισάγων πρὸς ἡμᾶς πᾶσαν δρόσον.

Χαῖρε, Θεοῦ τῷ θρόνῳ ἱστάμενος·
χαῖρε, ἡμᾶς τοὺς κάτω ὁρώμενος.
Χαῖρε, Πατρὸς καὶ Υἱοῦ σκεῦος θεῖον·
χαῖρε, αὐτῶν καὶ τοῦ Πνεύματος μύρον.
Χαίροις, Πάτερ θεόσοφε.

Σώζεις μὲν ἐκ κινδύνων καὶ παθῶν ψυχοφθόρων, τοὺς σοὺς διὰ θερμῆς σου πρεσβείας, ἡ γὰρ αὕτη πρὸς Θεὸν ὑπὲρ ἡμῶν, ἡ ἀπερίτρεπτος ὑπάρχει Ἱερόθεε, τῶν βοώντων πρὸς αὐτὸν ἐκ πόθου·
Ἀλληλούϊα.

Τεῖχος τῆς εὐσεβείας, γεγονὼς θεῖε Πάτερ, ἀθάνατον τὴν εὔκλειαν εὗρες, διὸ πρέσβευε ὑπὲρ ἡμῶν, τῶν ἐξόχως σε τιμώντων Ἱερόθεε, καὶ μετὰ πόθου σοι καὶ πίστεως βοώντων οὕτως·
Χαῖρε, ὁ Ὅσιος ἐν Ὁσίοις·
χαῖρε, ὁ Δίκαιος ἐν Δικαίοις.
Χαῖρε, ὁ πολλοὺς τοὺς ἐπαίνους δεξάμενος·
χαῖρε, ὁ ἐκ γῆς πρὸς τὰ ἄνω ἱπτάμενος.
Χαῖρε, Πάτερ ἱερώτατε τοῦ Δεσπότου μιμητά·
χαῖρε, ὄντως Ἰσαπόστολε καὶ αὐτῶν συγχορευτά.
Χαῖρε, ὁ τοῦ Προδρόμου διανύσας τὴν τρίβον·
χαῖρε, ὁ τῶν Μαρτύρων ἀγαπήσας τὸν κλῆρον.
Χαῖρε, ἡμῶν τὰς νόσους ἰώμενος·
χαῖρε, ἡμῖν τὴν χάριν δωρούμενος.
Χαῖρε, σοφῶν ὑπερβαίνων τὴν γνῶσιν·
χαῖρε, πιστῶν ὁ ἐγείρων τὴν πτῶσιν.

Χαίροις, Πάτερ θεόσοφε.

Ὕμνος ἅπας σοὶ πρέπει, καὶ ἐγκώμια Πάτερ, δι’ ὧν παρὰ Χριστοῦ εδοξάσθης, Ἱερόθεε θεράπων τοῦ Αὐτοῦ, καὶ τῆς Θεοτόκου φίλε γνήσιε, διὸ οἱ σὲ δοξάζοντες, βοῶμεν τῷ Σωτῆρι·
Ἀλληλούϊα.

Φῶς φωτὶ τῷ Μεγάλῳ, δευτερεῦον σὺ ὤφθης, φωτίζων θεοφόρε τοὺς πάντας, καὶ τοὺς σε τιμῶντας τῷ Θεῷ, καὶ φερωνυμοῦντάς σοι ἱκέτευε, τῶν ἐκ πόθου σοι βοώντων ταῦτα·
Χαῖρε, δομῆτωρ τῆς ἀληθείας·
χαῖρε, κοσμήτωρ τῆς εὐσεβείας.
Χαῖρε, φυτοκόμε δογμάτων ὀρθότητος·
χαῖρε, ῥιζοτόμε ἁπάσης φαυλότητος.
Χαῖρε, ἔμψυχον ἁγίασμα δι’ οὗ σώζονται πολλοί·
χαῖρε, εὔοσμον θυμίαμα δι’ οὗ τέρπονται πιστοί.
Χαῖρε, πνευματοφόρον πολυτίμητον γέρας·
χαῖρε, θαυματοφόρον χαριτόπλοκον κέρας.
Χαῖρε, λαμπρὸν τῆς φύσεως βλάστημα·
χαῖρε, φαιδρὸν τῆς χάριτος ἔξαλμα.
Χαῖρε, πηγὴ ἡ ἀρδεύουσα χθόνα·
χαῖρε, βροτοῖς οὐρανόμβροτον μάννα.
Χαίροις, Πάτερ θεόσοφε.

Χάριτος ἠξιώθην, τοῦ Θεοῦ τῆς μεγίστης, προστάτην σε πλουτίσας καὶ ῥύστην, Ἱερόθεε παντοίων

συμφορῶν, πάντα γὰρ ποιήσαι δύνασαι,Χριστοῦ τῇ θείᾳ χάριτι βοῶν αὐτῷ ἐν πᾶσι·

Ἀλληλούϊα.

Ψάλλει μέν σου τὸν ὕμνον, ἡ Χριστοῦ Ἐκκλησία, ὃν οἱ παῖδες σου ἐξέθεντό σοι Πάτερ, καὶ αὐτὸν προσφέροντές σοι νῦν δῶρον οἷα πενιχρὸν θεόσοφε, ἐνώπιον τῆς θαυμαστῆς Εἰκόνος σου, βοῶμέν σοι τὸν ὕμνον οὕτω·

Χαῖρε, ὁ φύλαξ ἡμῶν καὶ σκέπη·
χαῖρε, ὁ ῥύστης καὶ πάντων πρέσβυς.
Χαῖρε, τοῖς Μαρτύροις ὡς Μάρτυς τερπόμενος·
χαῖρε, τοῖς Ὁσίοις αὐτοῖς εὐφραινόμενος.
Χαῖρε, ὅτι εὐηρέστησας κατὰ πάντα τὸν Θεόν·
χαῖρε, ὅτι καταφαίδρυνας τῶν Ὁσίων τὸν χορόν.
Χαῖρε, τὸ τῆς Ἑλλάδος Ἱερόθεε θρέμμα·
χαῖρε, τὸ τῶν ἐν Ἄθῳ νεκρότητος θαῦμα.
Χαῖρε, δι’ οὗ μιγάδες συγχαίρουσι·
χαῖρε, δι’ οὗ δημόται συμψάλλουσι.
Χαῖρε, δι’ οὗ νεολαία καυχᾶται·
χαῖρε, δι’ οὗ Μεσσηνία ὑψοῦται.
Χαίροις, Πάτερ θεόσοφε.

Ὢ νεόδμητον ἄνθος, τῆς Χριστοῦ Ἐκκλησίας, θεόφρον Ἱερόθεε Πάτερ, προσδεξάμενος τὴν δέησιν ἡμῶν, ἀπὸ πάσης ῥῦσαι συμφορᾶς ἅπαντας,καὶ τῆς μελλούσης λύτρωσαι κολάσεως, τοῖς πρὸς Θεὸν πρεσβείαις σου, τοὺς αὐτῷ βοῶντας·

Ἀλληλούϊα.

